52. PARABLES BY THE SEA (Mk-Lk Identicals)

| Mk 4:1-9 | Lk 8:4-8 |
|---|---|
| Καὶ πάλιν ἤρξατο | |
| διδάσκειν παρὰ τὴν θάλασσαν. | |
| καὶ συνάγεται | Συνιόντος δὲ |
| πρὸς αὐτὸν | |
| ὄχλος πλεῖστος, | ὄχλου πολλοῦ καὶ |
| | τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν |
| ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα | |
| καθῆσθαι ἐν τῇ θαλάσσῃ, | |
| καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν | |
| θάλασσαν ἐπὶ τῆς γῆς ἦσαν. | |
| 2 καὶ ἐδίδασκεν αὐτοὺς | εἶπεν |
| ἐν παραβολαῖς πολλά, | διὰ παραβολῆς, |
| καὶ ἔλεγεν αὐτοῖς | |
| ἐν τῇ διδαχῇ αὐτοῦ, 3 Ἀκούετε. | |
| ἰδοὺ ἐξῆλθεν ὁ σπείρων | 5 Ἐξῆλθεν ὁ σπείρων |
| σπεῖραι. | τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. |
| 4 καὶ ἐγένετο ἐν τῷ σπείρειν | καὶ ἐν τῷ σπείρειν αὐτὸν |
| ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, | ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, |
| | καὶ κατεπατήθη |
| καὶ ἦλθεν τὰ πετεινὰ | καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ |
| καὶ κατέφαγεν αὐτό. | κατέφαγεν αὐτό. |
| 5 καὶ ἄλλο ἔπεσεν | 6 καὶ ἕτερον κατέπεσεν |
| ἐπὶ τὸ πετρῶδες | ἐπὶ τὴν πέτραν, |
| ὅπου οὐκ εἶχεν γῆν πολλήν, | |
| καὶ εὐθὺς ἐξανέτειλεν | |
| διὰ τὸ μὴ ἔχειν βάθος γῆς· | |
| 6 καὶ ὅτε ἀνέτειλεν ὁ ἥλιος | καὶ φυὲν |
| ἐκαυματίσθη, | |
| | ἐξηράνθη |
| καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν | διὰ τὸ μὴ ἔχειν ἰκμάδα. |
| ἐξηράνθη. | |
| 7 καὶ ἄλλο ἔπεσεν | 7 καὶ ἕτερον ἔπεσεν |
| εἰς τὰς ἀκάνθας, | ἐν μέσῳ τῶν ἀκανθῶν, |
| καὶ ἀνέβησαν αἱ ἄκανθαι | καὶ συμφυεῖσαι αἱ ἄκανθαι |
| καὶ συνέπνιξαν αὐτό, | ἀπέπνιξαν αὐτό. |
| καὶ καρπὸν οὐκ ἔδωκεν. | |

| Mk 4:1-9 | Lk 8:4-8 |
|---|---|
| 8 καὶ ἄλλα ἔπεσεν | 8 καὶ ἕτερον ἔπεσεν |
| εἰς τὴν γῆν τὴν καλήν, | εἰς τὴν γῆν τὴν ἀγαθήν, |
| | καὶ φυὲν |
| καὶ ἐδίδου καρπὸν | ἐποίησεν καρπὸν |
| ἀναβαίνοντα καὶ αὐξανόμενα, | |
| καὶ ἔφερεν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα | |
| καὶ ἓν ἑκατόν. | ἑκατονταπλασίονα. |
| 9 καὶ ἔλεγεν, | ταῦτα λέγων ἐφώνει, |
| Ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω. | Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. |

84 words out of 239 words = 35 %